# 25 IANUARIE

# PARACLISUL SF.MUCENIC AUXENTIE DE LA CONSTANTINOPOL

## PARACLISIER-GR


Ο ΑΓΙΟΣ
ΑΥΞΕΝΤΙΟΣ
ΒΕΛΛΑΣ

# 25 ΙΑΝΟΥΑΡΙΟΣ ΑΥΞΕΝΤΙΟΣ ΝΕΟΜΑΡΤΥΣ ΒΕΛΛΑΣ ΠΑΡΑΚΛΗΣΙΣ

*(Γερασίμου μοναχοῦ Μικραγιαννανίτου)*

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικὴν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ είς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι᾽ εὐχῶν τῶν Ἀγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾽ (142).*

Καὶ εὐθὺς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α᾽. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

*Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν…*

Στίχ. β’. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν…*

Στίχ. γ’. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν…*

*Εἶτα τὸ τροπάριον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Βελλᾶς τὸν γόνον καὶ Ἠπείρου τὸ εὖχος, ἐν Βασιλίδι τὸν ἀθλήσαντα ἄρτι Αὐξέντιον τιμήσωμεν πιστοὶ ἐκτενῶς, ὥσπερ ἰσοστάσιον τῶν ἀρχαίων Μαρτύρων, τὸν κατακοσμούμενον ἀρετῇ καὶ συνέσει, πανευλαβῶς βοῶντες· δαψιλῶς ἡμῖν σὴν χάριν γενναῖε κατάπεμψον.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρὐσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Αὐξεντίου, ἐκ Βελλᾶς, νεοάθλου, ἱκεσία. Χ.*

*Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Αὐξέντιον νέον ἐν Ἀθληταῖς, λαμπροῖς εὐσεβείας, ἀνυμνήσωμεν ἐν χορῷ, βοῶντες· Κυρίου Νεομάρτυς, ὑπὲρ ἡμῶν Ἰησοῦν καθικέτευε.

Ὑπέμεινας ἔκχυσιν ὀφθαλμοῦ, τοῦ σοῦ Νεομάρτυς, ὁ τὸ ὄμμα σου τῆς ψυχῆς, Αὐξέντιε πίστει ἀνατείνας, πρὸς τὸν Θεὸν Ὃν ἡμῖν καθιλέωσαι.

Ξιφήρους ὑπέμεινας εὐθαρσῶς, Αὐξέντιε μῆνιν, ἀποτμήσαντος κεφαλήν, τὴν θείαν σου Ἄγαρ ἀπογόνου, πιστῶν θερμὲ ἀντιλῆπτορ καὶ ἔφορε.

*Θεοτοκίον.*

Ἐκ Σοῦ ὁ πρὸ πάντων ἐκ τοῦ Πατρός, αἰώνων Παρθένε, παντευλόγητε προελθών, ἐθέωσε γένος τῶν ἀνθρώπων, τὸ εἰς αἰῶνας λαμπρῶς μεγαλῦνόν Σε.

*Ὠδὴ γ΄. Οὐρανίας ἀψῖδος.*

Νεομάρτυς γενναῖε τῆς τοῦ Χριστοῦ πίστεως, ἀνδρικῶς ἀθλήσας καθεῖλες, πᾶσαν τὴν δύναμιν, στυγνῶν τῆς Ἄγαρ υἱῶν, νενευρωμένος ὑψίστου, χάριτι Αὐξέντιε, φύλαξ προσφύγων σου.

Τῶν ὀδόντων σου πτῶσιν Μάρτυς στεῤῥὲ ἤνεγκας, καὶ ἐχθρὸν κατέκλυσας ῥείθροις, θείων αἱμάτων σου, Βελλᾶς βλαστὲ ἱερέ· διό σε πόθῳ τιμῶντες, χάριν σου Αὐξέντιε, ἀπεκδεχόμεθα.

Ἰσχυρὸς ἐν ἀγῶσιν ὑπὲρ Χριστοῦ πίστεως, πέφηνας Αὐξέντιε μάκαρ, περιφανέστατε, ὁ τὴν

δειλίαν ἡμῶν, ἐλαύνων καὶ πρὸς ἀγῶνας, ἐνισχύων πίστεως, τοὺς εὐφημοῦντάς σε.

*Θεοτοκίον.*

Οὐρανῶν δεῖξον δρόμον τὸν σωστικὸν Δέσποινα, κεχαριτωμένη Παρθένε, τοῖς μακαρίζουσι, Σὲ εἰς αἰῶνας λαμπρῶς, καὶ Σὸν Υἱὸν καὶ Δεσπότην, κτίσεως δοξάζουσι, ὕμνοις ἀείποτε.

Διάσωσον, σοὺς ὑμνηπόλους Αὐξέντιε Νεομάρτυς, ἐκ δολίας ἐπιβουλῆς τοῦ πλάνου ἀλάστορος, τοὺς σπεύδοντας πίστει ταῖς σαῖς πρεσβείαις.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Βελλᾶς τιμαλφὲς διάκοσμε Αὐξέντιε, τῶν νέων Χριστοῦ Μαρτύρων σεμνολόγημα, Κωνσταντινουπόλεως ὁ φοινίξας τὴν χθόνα σοῖς ῥεύμασι σεπτῶν αἱμάτων, πρέσβευε Χριστῷ, ὑπὲρ τῶν τιμώντων σου τὴν ἄθλησιν.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ὑμνολόγους στερέωσον, ἐν Χριστοῦ τῇ πίστει στεῤῥὲ Αὐξέντιε, σέλας τῆς Βελλᾶς νεόφωτον, τοὺς τιμῶντας ἄθλησιν τὴν θείαν σου.

Ἐξ Ἠπείρου ὁρμώμενος, ἐν τῇ Βασιλίδι λαμπρῶς Αὐξέντιε, μαρτυρίου δρόμον ἤνυσας, ὑπερασπιστὰ θερμῶν προσφύγων σου.

Κρατυνθεὶς ὑπὸ ἄνωθεν, φύλαξ ἱκετῶν σου ῥοπῆς Αὐξέντιε, ούκ ἐφείσω τοῦ σαρκίου σου, άλλ' ὡς ἄλλου πάσχοντος ἐνήθλησας.

*Θεοτοκίον.*

Βαρυθύμους Σου πρόσφυγας, κεχαριτωμένη ταχὺ εὐθύμησον, Αὐξεντίου παρακλήσεσι, νεοάθλου ἄγαν γενναιότητος.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ἔρωτι Θεοῦ, πτερωθεὶς σοφῶς Αὐξέντιε, ἀπεδύθης πρὸς ἐνάθλησιν στέῤῥάν, πρεσβευτὰ ἡμῶν πρὸς Κύριον θερμότατε.

Λύχνος παμφαὴς, γενναιότητος Αὐξέντιε, ἐποφθεὶς ἡμῶν φωτίζεις τῶν δειλῶν, τὰς ψυχὰς ὁμολογεῖν Χριστὸν ἑκάστοτε.

Λύσον τὴν ἀχλὺν, τῶν ἡμῶν ἀνόμων πράξεων, θείας πίστεως Αὐξέντιε, πυρσέ, ἀστραπαῖς σῶν πρὸς Χριστὸν θερμῶν δεήσεων.

*Θεοτοκίον.*

Αὔξησον ἡμῶν, τὴν ἀγάπην πρὸς τὸν Τόκον Σου, τὸν εὐΐλατον Δεσπότην καὶ Θεόν, Αὐξεντίου Θεοτόκε παρακλήσεσι.

*Ὠδὴ στ΄. Τὴν δέησιν.*

Στεῤῥόψυχε, Ἀθλητὰ Αὐξέντιε, ὁ τὸ στράτευμα αὐξήσας Μαρτύρων, σῇ εὐσταλεῖ, καὶ γενναίᾳ ἐνστάσει, τῶν σὲ τιμώντων τὸν πόθον ἐπαύξησον, πρὸς κτῆσιν πάσης ἀρετῆς, καὶ ζυγοῦ ἄρσιν βίου στενώσεων.

Νεόαθλε, γεραρὲ Αὐξέντιε, συντριβὴν ὁ ὑπομείνας ὀδόντων, καὶ ὀφθαλμῶν, σοῦ τὴν ἔκχυσιν πάντων, ἡμῶν λιτῶν διαθέρμων ἐπάκουσον, καὶ καταξίωσον καλῶς, ἀρετῆς πάντας δρόμον πορεύεσθαι,

Ἐξέχεας, ῥεῖθρα τῶν αἱμάτων σου, πρὸς ἀπόπνιξιν τῆς Ἄγαρ ἐκγόνων, ἐν τοῖς ὑστέροις Αὐξέντιε χρόνοις, καὶ πρὸς ψυχῶν εὐσεβῶν ἀγαλλίασιν, τῶν εὐφημούντων νῦν λαμπρῶς, τὴν στεῤῥάν σου καὶ πάνσεπτον ἄθλησιν.

*Θεοτοκίον.*

Ὁλόλαμπρον, τοῦ ὑψίστου σκήνωμα, Θεοτόκε τῷ ἀφράστῳ Σου τόκῳ, ἡ τὴν ἀράν, ἀφανίσασα Εὔας, καὶ τὸν κρουνὸν εὐλογίας ἀνοίξασα, ἡμῖν ἀφάνισον ἀχλύν, οἰκετῶν Σου τῶν πόνων καὶ θλίψεων.

Διάσωσον, σοὺς ὑμνηπόλους Αὐξέντιε Νεομάρτυς, ἐκ δολίας ἐπιβουλῆς τοῦ πλάνου ἀλάστορος, τοὺς σπεύδοντας πίστει ταῖς σαῖς πρεσβείαις.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Ταῖς τῶν αἱμάτων σου.*

Βλαστὲ Βελλᾶς Νεομάρτυς Αὐξέντιε, ὁ νουνεχῶς τῶν φθαρτῶν ἀρνησάμενος, μετὰ σὸν ἔκλυτον βίον νεότητος, καὶ ὑπομείνας βασάνους καὶ θάνατον, διὰ Χριστόν, ἴσθι φύλαξ προσφύγων σου.

Προκείμενον: *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

*Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν· οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. ὁ ἐμὲ μισῶν καὶ τὸν πατέρα μου μισεῖ. εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ καὶ ἑωράκασι καὶ

μεμισήκασι καὶ ἐμὲ καὶ τὸν πατέρα μου. ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν, ὅτι ἐμίσησάν με δωρεάν. ὅταν δὲ ἔλθῃ ὁ παράκλητος ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός, τὸ Πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ· καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστε. Ταῦτα λελάληκα ὑμῖν ἵνα μὴ σκανδαλισθῆτε. ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ' ἔρχεται ὥρα ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ.

Δόξα: *Ταῖς τοῦ Ἀθλοφόρου...*
Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*
Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Γνώμης γενναιότητι, ἀντιταξάμενος Μάρτυς, τῶν ἐχθρῶν θρασύτητι, Ἀθλητὰ Αὐξέντιε χαίρων ἤθλησας, καὶ τομὴν ἤνεγκας, τοῦ σεπτοῦ αὐχένος, Νεομάρτυς καρτερόψυχε, Βελλᾶς ἐκβλάστημα, Κωνσταντινουπόλεως κόσμημα, καὶ θεῖον ἐγκαλλώπισμα, εὐσεβείας· ὅθεν τιμῶντές σε, μελιχροῖς ἐν ὕμνοις, αἰτούμεθα θερμάς σου προσευχάς, πρὸς τὸν εὐΐλατον Κύριον, ἅπαντας τὸν σῴζοντα.

### *Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἀθλητὰ τροπαιοῦχε μαρτυρίου ἀνύσας ὁδὸν Αὐξέντιε, μετ᾽ ἄκρας εὐλαβείας, κατήντησας είς πόλον, ἔνθα χαίρων τὸν Κύριον, ὑπὲρ ἡμῶν δυσωπεῖς, τῶν σὲ μακαριζόντων.

Θαυματόβρυτος ὤφθη ἡ τιμία σου κάρα λαμπρὲ Αὐξέντιε, Μονὴ Ξηροποτάμου, ὡς θησαυρὸν ἣν ἔχει, τιμαλφῆ καὶ ἀκένωτον, τῶν ἰαμάτων πηγήν, Νεομαρτύρων κλέος.

Λυπηρῶν καὶ κινδύνων ἀπολύτρωσαι τάχος τοὺς σοὶ προσφεύγοντας, καὶ ἀνυμνολογοῦντας, τὴν πάνσεπτόν σου μνήμην, Νεομάρτυς Αὐξέντιε, Βελλᾶς βλαστὲ ἱερέ, καὶ τῆς Ἠπείρου θρέμμα.

*Θεοτοκίον.*

Οἱ πιστοὶ καθ᾽ ἑκάστην Θεοτόκε Παρθένε Σὲ μακαρίζομεν, ὡς πάντων σωτηρίας, τῶν χοϊκῶν αἰτίαν, καὶ πηγὴν ἁγιάσματος, τῶν μελῳδούντων πιστῶς, τοῦ Αὐξεντίου ἄθλους.

### *Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Ὑπὲρ τῶν πίστει, ἐπιτελούντων σὴν μνήμην, ἐκδυσώπει Χριστὸν Νεομάρτυς, τῆς Βελλᾶς κοσμῆτορ, Αὐξέντιε τρισμάκαρ.

Ἰσχύϊ θείᾳ, ἐνδυναμούμενος Μάρτυς, τῶν ὀδόντων σου ἤνεγκας πτῶσιν, ὁ ἐγείρων πάντας, ἐκ πτώσεως θανάτου.

Κακίας ῥῦσαι, τοὺς σοὺς ἱκέτας ἡμέρας, ὁ κακίαν υἱῶν ὑπομείνας, Ἄγαρ καὶ εὐτόλμως, Αὐξέντιε ἀθλήσας.

*Θεοτοκίον.*

Εὐλογημένη, Μῆτερ Χριστοῦ τοῦ Σωτῆρος, περιφρούρει καὶ σκέπε Σοὺς δούλους, ἄθλους εὐφημοῦντας, ἐνδόξου Αὐξεντίου.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Στεῤῥῶς ἐν βασιλίδι, ἄρτι ὁ ἀθλήσας, καὶ καταισχύνας ἀπίστων τὰς φάλαγγας, ἡμῶν γεγένησαι φύλαξ ταχὺς Αὐξέντιε.

Ἰσχύσας τῶν ἀπίστων, καθελεῖν τὸ θράσος, σοῦ μαρτυρίου βασάνοις Αὐξέντιε, ἡμῶν ἐλαύνεις τοὺς πόνους, εὐχῶν ἰσχύϊ σου.

Αὐξήσας μαρτυρίου, πόθον σῇ συνέσει, καὶ σωφροσύνῃ θεόφρον Αὐξέντιε, ἡμῖν δεικνύεις ἀπαύστως ὁδὸν συνέσεως.

*Θεοτοκίον.*

Χαρᾶς καρδίας πλῆσον, κεχαριτωμένη, τῶν μελιῤῥύτοις ᾠδαῖς εὐφημούντων Σε, παραμυθίαν ὡς πάντων βροτῶν ἐν θλίψεσι.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν

Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σὲ μεγαλύνομεν.

Χαίροις εὖχος πάνσεπτον τῆς Βελλᾶς, κλέϊσμα Ἠπείρου, Νεομάρτυς περικλεές, ὁ ἐν Βασιλίδι, τομὴν καθυπομείνας, σῆς θείας ἀγογγύστως, κάρας Αὐξέντιε.

Χαίροις ὁ αἰσχύνας Ἄγαρ υἱούς, σῇ λαμπρᾷ ἐνστάσει, καὶ αὐχένος σου ἐκτομῇ· χαίροις Νεομάρτυς, ὁ ἐκ Βελλᾶς Ἠπείρου, ὁρμώμενος στεῤῥόφρον, Μάρτυς Αὐξέντιε.

Χαίροις ὁ βασάνους παντοδαπάς, πτῶσιν σῶν ὀδόντων, διαστρέβλωσιν ὀφθαλμῶν, ῥαβδισμοὺς αἰκίας, εἱρκτὴν καὶ κεφαλῆς σου, καθυπομείνας τμῆσιν, μᾶκαρ Αὐξέντιε.

Ἔλυσας ἀπάτης Ἄγαρ υἱῶν, τὴν ἀχλὺν φωτί σου, καρτερίας ἐν τοῖς δεινοῖς, καὶ αἱμάτων ῥείθροις, Αὐξέντιε ἀλκίφρον, Νεομαρτύρων κλέος καὶ σεμνολόγημα.

Εὐθαρσῶς τὸ ὄνομα τοῦ Χριστοῦ, καθομολογήσας, πρὸ βλεφάρων Ἄγαρ υἱῶν, παρ' Αὐτοῦ στεφάνους, εὐκλείας ἀϊδίου, ἀπείληφας ἀξίως, Μάρτυς Αὐξέντιε.

Ῥύου τοὺς ἱκέτας σου συμφορῶν, καὶ δολίου πλάνης, νέον σέμνωμα τῆς Βελλᾶς, καὶ ἀπαύστως φρούρει, τοὺς σὲ ὑμνολογοῦντας, ἑκάστοτε εὐήχοις, ὕμνοις Αὐξέντιε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες

μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν είς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί...*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καὶ νῦν...*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες είς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου,*

*ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.*

Μάρτυς, ἀγωγῆς ὁ τρυφηλῆς, ἀποπλύνας ῥύπον εὐχαῖς σου, καὶ προγυμνάσας σαὐτόν, ἐλεημοσύναις σου, νηστείαις δάκρυσι, καὶ σαρκίου στερήσεσι, καὶ εἶτα χωρήσας, πρὸς στεῤῥὸν μαρτύριον, σεπτὲ Αὐξέντιε, ῥύπου, ἁμαρτίας ἱκέτας, κάθαρον τοὺς σοὺς ῥυπτικαῖς σου, προσευχαῖς πρὸς Κύριον τὸν εὔσπλαγχνον.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι’ εὐχῶν.*